κα΄. Χρεὼν δὲ καὶ περὶ τῆς τῶν διακονητῶν διαλαβεῖν προβολῆς τε καὶ προχειρίσεως. ὁ καθηγούμενος ἐκλέξεται τὸν ἀρετῇ καὶ ὑπολήψει καὶ ἐνεργείᾳ ἐν πάσῃ τῇ ἀδελφότητι ὑπερφέροντα καὶ προχειριεῖται αὐτὸν εἰδήσει καὶ τῶν προκρίτων ἀδελφῶν τῆς μονῆς καὶ τῶν ὑπ' αὐτὴν καὶ περὶ αὐτὴν κτημάτων καὶ πραγμάτων καθολικὸν οἰκονόμον, τρισαγίου γινομένου ἐν τῇ ἐκκλησίᾳ παρούσης τῆς ἀδηλφότητος· εἶθ' οὕτω προβαινούσης παρὰ τοῦ καθηγουμένου κατὰ τὸ εἰωθὸς καὶ τῆς προχειρίσεως. καὶ ἔκτοτε ἔσται πάντα ἐνεργῶν ὁ οἰκονόμος κατὰ τὴν τοῦ καθηγουμένου θέλησιν, ἐνεργήσει δὲ ὅλως οὐδὲν ἄνευ τῆς αὐτοῦ βουλῆς καὶ γνώμης καὶ κρίσεως. καὶ ἐκκλησιάρχης δὲ ὑπὸ τοῦ καθηγουμένου ὁμοίως προχειρισθήσεται ὁ καὶ εὐλαβείας ἐπιεικῶς ἀντιποιούμενος καὶ πρὸς τὴν ἐκκλησιαστικὴν εὐταξίαν καὶ παντοίαν κατάστασιν ἐπιδεξίως ἔχων καὶ ὡς οἷόν τε ἐπιστημόνως. αὐτὸς δὲ οὗτος ὁ ἐκκλησιάρχης καὶ τὰ βιβλία καὶ μέντοι καὶ τὰ χαρτῶα τῆς μονῆς δικαιώματα καὶ εἴ τι ἄλλο τῆς ἐκκλησίας ἐστὶν ὀφεῖλει μετὰ ἀπογραφῆς παραλαμβάνειν καὶ σὺν ἐπιμελείᾳ πλείστῃ φυλάττειν. ἀλλὰ καὶ δύο προβαλεῖται δοχειαρίους, καθ' ὃν εἰρήκαμεν τρόπον, ὁ καθηγούμενος, ὧν ἄτερος μὲν τὴν τῶν ἐκ τοῦ ἐλέους τοῦ θεοῦ καὶ τοῦ ἀνεξαντλήτου πελάγους τῆς πλουσιοπαρόχου αὐτοῦ καὶ μεγαλοδώρου χρηστότητος ὁθενδήποτε προσποριζομένων τῷ κοινοβίῳ νομισμάτων λεπτομερεστέραν ἔξοδον ἐπεργάσεται ἐκ πάσης μὲν εἰσόδου γινομένης τε καὶ ἀπογραφομένης ἐνώπιον τοῦ καθηγουμένου, τοῦ οἰκονόμου, τοῦ ἐκκλησιάρχου καὶ αὐτοῦ δὴ τοῦ δοχειαρίου, σφραγιζομένων τε παρ' αὐτῶν καὶ φυλαττομένων τῶν νομισμάτων παρὰ τοῦ ἐκκλησιάρχου, ὡς καὶ τῶν λοιπῶν τιμίων καὶ εὐχρήστων τυγχάνοντος φύλακος, ἐξαγομένων δὲ καὶ διδομένων τῷ δοχειαρίῳ χάριν ἐξόδου ἡμερησίας, προβαινούσης ἀδηρίτως ὁρισμῷ τοῦ ἡγουμενεύοντος, εὐαριθμήτων νομισμάτων ἀρκεσόντων τυχὸν ἐπὶ μηνιαίῳ χρόνῳ ἢ μικρῷ πλείονι ἢ ἐλάσσονι. ὁπότε γε μὴν ἐξαντληθείη παρὰ τοῦ αὐτοῦ δοχειαρίου διὰ λεπτῆς ἀπογραφῆς εἰς τὰς ὑπὸ τοῦ καθηγουμένου κελευσμένας ἐξόδους τῆς μονῆς, τὰ φθάσαντα ἐκβληθῆναι καὶ δοθῆναι νομίσματα, γενήσεται συμψηφισμὸς αὐτῶν καὶ ἐκλογισμὸς παρὰ τῶν ἀνωτέρω δηλωθέντων προσώπων, καὶ αὖθις ἕτερα ἐκβληθήσονται καὶ ὁμοίως αὐτῷ δοθήσονται, καὶ οὕτω καθεξῆς τὰ τῶν νομισματικῶν εἰσόδων καὶ μέντοι καὶ τῶν ἐξόδων ἔσονται ἐνεργούμενα. ὁ δ' ἕτερος δοχειάριος ὀφείλει κρατεῖν τὰ δι' ὑφασμάτων εἰσοδιαζόμενα καὶ ἐξοδιαζόμενα, τὰ περιβόλαιά τε τῶν ἀδελφῶν καὶ τὰ σκεπάσματα καὶ ὅσα πρὸς ἐνδυμενίαν ἁπλῶς τῶν ἐν τῇ μονῇ μοναχῶν ἢ καὶ τῶν δουλευτῶν κοσμικῶν δι' ἐπιμελείας τίθεσθαι. πρὸς τούτοις καὶ τὸ εἰσοδιαζόμενον ὁθενδήποτε κηρίον ἅπαν, ἀλλὰ μὴν καὶ τὸ ἔλαιον, ἀφ' ὧν ὀφείλουσι παραδίδοσθαι τῷ ἐκκλησιάρχῃ, προ-

τροπῇ καὶ ὁρισμῷ τοῦ καθηγουμένου τὰ ἀρκοῦντα τῇ ἐκκλησίᾳ καθ' ἕκαστον τετράμηνον ἔλαιόν τε καὶ κηροί, πρότερον κατασκευαζόμενοι δι' ἐπιστασίας τοῦ προεστῶτος, ὡς αὐτῷ πρόσηκον δοκοίη, καὶ οὕτω τῷ ἐκκλησιάρχῃ διδόμενοι. ἀλλὰ καὶ ἕτερόν τινα εὐλαβῆ καὶ ἱκανὸν προβαλεῖται ὁ καθηγούμενος, ἐφ ᾧ παραλαμβάνειν καὶ οἰκονομεῖν τά τε εἰσοδιαζόμενα ἤτοι ἐξωνούμενα σίδηρα καὶ ὅσα διὰ σιδήρων ἐργαλεῖα, ὅς δὴ καὶ τὸ προσφάγιον τῶν ἀδελφῶν καὶ εἴ τι ἕτερόν ἐστιν εἰς ἔξοδον τῶν κοσμικῶν ὀφείλει κρατεῖν. προχειριεῖται ὡσαύτως καὶ οἰνοχόον ἐγκρατείᾳ κεκοσμημένον καὶ σταθηρότητι, τὸν μέλλοντα ποιεῖσθαι τὴν τοῦ εἰσοδιαζομένου παντὸς οἴνου εἴσοδόν τε καὶ ἔξοδον· ὁμοίως καὶ κελλαρίτην ἐκ τῶν τῆς ἀδελφότητος εὐλαβεστέρων τε καὶ ἐμπειροτέρων, τά τε ἄλλα ἐπιεικείᾳ καὶ συνέσει καὶ πραΰτητι καλλυνόμενον καὶ πρὸς τὴν τοιαύτην διακονίαν ἐπιτηδείως ἔχοντα, ᾧτινι καὶ δύο παρακελλαρῖται καὶ μάγειρος εἰς ὑποτακτικὴν συνεργίαν δοθήσονται. καὶ ἕτερος δὲ τῶν ἀδελφῶν εἰς τὸ εἶναι τραπεζάριος προβληθήσεται. καὶ πάντες ἁπαξαπλῶς μετ' ἐλευθερίας πάσης καὶ παντελοῦς τοῦ ἰδίου θελήματος θνήσεως ἐν εἰλικρινεῖ πίστει καὶ ἀναθεύτῳ καὶ ὀρθῇ σπουδῇ καὶ προαιρέσει διακονήσουσι, τοῖς τοῦ καθηγουμένου πειθαρχοῦντες διηνεκῶς ἐπιτάγμασιν ἄτερ δισταγμοῦ καὶ διχονοίας τῆς οἰασδήτινος, πείθοντες ἑαυτοὺς ὡς ἀντικρυς θεῷ καὶ ἀγγέλοις ὑπηρετοῦσι τοῖς ἀδελφοῖς ἐν πατρικοῖς κελεύσμασι ἐκδουλεύοντες, μᾶλλον δέ, ἵνα τὸ μεῖζον εἴπω καὶ ὑψηλότερον, αὐτὸν ὡς ἐφικτὸν μιμοῦνται Χριστὸν τὸν θεὸν ἡμῶν, τρανῶς ἐν τοῖς εὐαγγελίοις «οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαν» καὶ ποιοῦντα καὶ φάσκοντα, οὐ δὴ καὶ κληρονόμοι τῶν ἀπορρήτων γενήσονται ἀγαθῶν, εἰ τὸ τῆς διακονίας ἔργον ἀκίβδηλον διασώζοιεν.

κβ'. Οὐδὲν ἴδιον ἔχειν οὐδενὶ τῶν ἀδελφῶν ἐξέσται, πλὴν τῶν ἀναγκαίων περιβλημάτων καὶ σκεπασμάτων. ἀναγκαῖα δ' ἐκεῖνά φαμεν τὰ ὧν ἄνευ ἀδύνατον ζῆν. ἔστω δὲ χρῆμα καὶ πλοῦτος ἑκάστῳ ἡμῶν ἡ πασῶν τῶν ἀρετῶν ἐργάτις ἀκτημοσύνη, τὸ συνεκτικώτατον τῆς ἀσκητικῆς ἡμῶν πολιτείας κεφάλαιον, ἐφ ᾧ καὶ νικᾶν ἄλλος ἄλλον ἀφιλονείκως σπουδάζοιτε, τὴν ἀρίστην ἄμιλλαν ἀμιλλώμενοι, χρυσὸν δὲ καὶ ἄργυρον καὶ χρῆμα πᾶν ὑλαῖον καὶ γήινον, τά γε πρὸς ἰδίαν κτῆσιν, ἀπὸ καρδίας μισήσατε. μηδεὶς ὑμῶν εἰς ἴδιον κέρδος τὸ οἰονοῦν μεταχειριζέσθω ἐργόχειρον, ἀλλ' εἴτε καλλιγραφεῖν τις ἠσκήθη, εἴτε τι ἕτερον μετιέναι, εἰδήσει καὶ προστάξει τοῦ καθηγουμένου ὀφείλει ἐργάζεσθαι πρὸς ὅπερ ἕκαστος πέφυκε, διδομένων μὲν τῶν ὑλῶν ἐκ τοῦ κοινοβίου, εἰσκομιζομένου δὲ τοῦ ἔργου μετὰ τὸν ἀπαρτισμὸν αὖθις εἰς τὸ κοινόβιον.

κγ'. Οὐδὲν δὲ ἀπεικός, εἰ καὶ τῶν εἰς ἔρωτα ἡσυχίας ἴσως ἐλευσομένων

ἀπὸ τῶν ἀδελφῶν ἡμῶν ὁ λόγος ἐπιμνησθείη· ἐπειδὴ γὰρ πολλὴν ἔχει τὴν ἐρημίαν ἡ νῆσος καὶ θέσεις τόπων εἰσὶν ἐν αὐτῇ τὸ ἠρεμαῖον πάντῃ καὶ ἀθόρυβον ἐνδεικνύμεναι, οἶομαι καὶ πρὸς τὴν ὑψηλὴν ταύτην καὶ τοῖς ὑπὸ παθῶν ὀχλουμένοις ἔτι δυσπρόσιτον διαγωγήν, ἵνα μὴ λέγω καὶ τελέως ἀνέφικτον, τινὰς ἐντεῦθεν ἐρεθισθήσεσθαι. ταύτῃ τοι καὶ ἐντέλλομαι, ὡς εἴ τινα ἴδοι ὁ καθηγούμενος ταῖς τοῦ κοινοβίου πρότερον ἀγωγαῖς καὶ τοῖς τῆς ὑποταγῆς ἀθλήμασι στερρῶς ἐνευδοκιμήσαντα, ἔπειτα μέντοι καὶ πρὸς τὸ τῆς ἡσυχίας στάδιον προθύμως ἀποδύσασθαι προαιρούμενον, ἐφεῖναι μὲν αὐτῷ καὶ μὴ ἐμποδὼν γενέσθαι πρὸς κτῆσιν μείζονος ἀγαθοῦ· φθόνος γὰρ οὐδεὶς παρὰ πατρὸς υἱοῖς νουνεχῶς εἰς νοερὰν ἐπειγομένοις ἀνάβασιν, ἐφεῖναι δὲ οὐχ ἁπλῶς, οὐδ' ὥστε τοῦ λοιποῦ τοὺς ἡσυχάζειν προελομένους αὖθαιρέτως βιοῦν καὶ γνώμαις ταῖς οἰκείαις στοιχεῖν, ὡς ἤδη τὸν τῆς ὑπακοῆς ζυγὸν ἀφ' ἑαυτῶν ἀπορρίψαντας καὶ τῆς τοῦ προεστῶτος ζεύγλης τοὺς ἰδίους αὐχένας ἐλευθερώσαντας· μὴ εἴη τοῦτο μηδ' ἐφ' ἑνί, μηδ' ἀνεκτὸν φανείη τοῖς μεθ' ἡμᾶς τῆς καθ' ἡμᾶς εὐαγεστάτης μάνδρας προστησομένοις καὶ τοῖς ὑπ' αὐτῶν ὁσίως ποιμαινομένοις λογικοῖς τοῦ Χριστοῦ προβάτοις καὶ ἀγαπητοῖς ἐν κυρίῳ τέκνοις μου. ἀλλ' ἔστω μὲν καὶ αὖθις ὁ μέλλων ἡσυχάσαι, ὅστις ἂν καὶ εἴη, κοιμένα ἔχων καὶ προεστῶτα τὸν καθηγούμενον καὶ τὴν ὑποταγὴν αὐτῷ καὶ τὴν ὑπακοὴν τηρείτω διὰ παντὸς ἀπαράθραυστον· ἐν ἀπωτάτῳ δὲ τῆς μονῆς εἰς ἀπορρῶγα πέτραν ἢ σπήλαιον ἢ κελλίον μόνος καθήμενος καὶ τὰς ὑποθημοσύνας ἐκ τοῦ κοιμένος δεχόμενος, ὕμνοις καὶ προσευχαῖς καὶ νοεραῖς ἐνθέοις ἐργασίαις προσασχολείσθω, παρεχέτω δὲ αὐτῷ εἰς φίμωτρον ἀκηδίας καί τινα ὕλην ἐργοχείρου ὁ καθηγούμενος, ὡς ἂν ἀπαρτίζων τὸ κελευόμενον εἰσκομίζοι τῷ προεστῶτι, ὃν τρόπον καὶ οἱ λοιποὶ τῶν ἀδελφῶν οἱ ἐργοχειράριοι, ὡς ἀνωτέρω φθάσαντες ἐδηλώσαμεν.

κδ'. Ἡ γε μὴν δίαιτα τῷ ἡσυχαστῇ κατὰ τὰς πέντε τῆς ἑβδομάδος ἡμέρας ἄπυρος ἔσται καθόλου καὶ ἀμαγείρευτος, τραφήσεται δὲ καθ' ἑκάστην ἡμέραν ἅπαξ μετὰ τὴν ἐνάτην ὥραν ξηροφαγῶν, διδομένων αὐτῷ προστάξει τοῦ ἀββᾶ ἐκ τοῦ κοινοβίου τῶν πρὸς διοίκησιν, κατὰ δὲ τὴν τοῦ σαββάτου λειτουργίαν ἐλεύσεται ἐν τῇ μονῇ, καὶ συνεστιαθήσεται τῇ ἀδελφότητι, καὶ συνδιάξει ἔν τε τῷ λυχνικῷ καὶ τῇ ἀγρυπνίᾳ, παραμενεῖ τε τῇ θείᾳ μυσταγωγίᾳ τῆς κυριακῆς μεταληψόμενος τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων, εἰ ἐπιτρέψει ὁ καθηγούμενος (ἄτερ γὰρ τῆς ἐπιτροπῆς ἐκείνου οὐδὲ τῶν ἁγιασμάτων, ὥσπερ οὐδέ τις ἄλλος τῶν ἀδελφῶν, καταξιωθήσεται), αὖθίς τε ἀπολαύσει τῆς κοινῆς τραπέζης τῶν ἀδελφῶν, καὶ κατὰ τὴν τῆς αὐτῆς ἡμέρας, ἤγουν τῆς κυριακῆς, ἑσπέραν, λαβὼν τὰ εἰς τὴν ἐπιοῦσαν ἑβδομάδα ἢ μᾶλλον εἰς τὸ τῆς ἑβδομάδος πενθή-

μερον ζωαρκῆ καὶ τὰ πρὸς τὸ ἐργόχειρον ἐπιτήδεια τὴν ἑαυτοῦ μονίαν καταλήψεται. καὶ καθεξῆς οὕτως ἔσται ποιῶν, μηδενὶ μηδὲν ἐν ταῖς συνάξεσιν ὁμιλῶν, πλὴν μόνου τοῦ προεστῶτος, εἰ μὴ τυχὸν αὐτὸς ὁ καθηγητὴς καὶ πρὸς ἕτερόν τινα τῶν ἀδελφῶν ποιήσασθαι ὁμιλίαν τῷ ἡσυχαστῇ διορίσοιτο. εἰ δὲ καὶ μεταξὺ τῆς ἑβδομάδος δεσποτική τις ἑορτὴ ἀπαντήσοι καὶ τελεσθῆναι μέλλει κανόνιος ἀγρυπνία ἐν τῇ μονῇ, παραβαλεῖ κἀν ταύτῃ ἀφ' ἑσπέρας ὁ ἡσυχάζων καὶ διακαρτερήσει παραπλησίως, ὥσπερ δὴ καὶ ἐν πάσῃ κυριακῇ. ἐν τῷ ἡσυχαστικῷ δὲ αὐτοῦ κελλίῳ καθήμενος οὐδενὶ παραβαλόντι ἀνοίξει ἢ ὁμιλήσει, εἰ μὴ πρότερον ὑπὸ τοῦ καθηγητοῦ ἀπεστάλθαι πληροφορίαν δέξηται. οὐκ ἀπελεύσεταί ποτε πρὸς ἐκεῖνο τὸ μέρος, ἐν ᾧ οἰκεῖν τοὺς λαϊκοὺς ἄνω που τῶν διαταγμάτων ἀπαρχόμενοι δεδηλώκαμεν, οὐ ποιήσει τι, οὐ μικρόν, οὐ μέγα, οὐ βλαβερόν, οὐκ ὠφέλιμον, ἵνα συλλήβδην εἴπω καὶ μὴ ἀπαριθμῶμαι καθ' ἕκαστον, ἄτερ βουλῆς καὶ κρίσεως τοῦ ἡγουμενεύοντος. εἰ δέ τι τοιοῦτον τῶν τοιουτοτρόπως τὴν ἡσύχιον ἀσπασαμένων βιοτὴν φωραθείη τις πεποιηκὼς καὶ μὴ ἀξιόλογον αὐτίκα μάλα τὴν διόρθωσιν ἐπιδείξαιτο, ἀλλ' ἰδιορρύθμως ἐπιμένει τῷ παραπτώματι, εὐθὺς ἐξέσται τῷ ἡγουμένῳ εἰσάγειν αὐτὸν καὶ ἄκοντα πρὸς τὸ πλῆθος τῆς ἀδελφότητος, ὥστε τοῦ λοιποῦ διάγειν μετὰ πάντων ἐν τῷ κοινοβίῳ καὶ ὑποτάσσεσθαι ὡς ἀρχάριον· εἰ δὲ μὴ τοῦτο καταδεχόμενος φαίνοιτο, ἐκδιωκέσθω τέλεσιν καὶ τῆς μονῆς καὶ τῆς νήσου, καὶ ὡς μέλος σεσηπὸς ἀποκοπτέσθω τοῦ ἱεροῦ τῆς εὐαγοῦς ἡμῶν ποίμνης σώματος. αὕτη ἡ ἀκρίβεια τῶν ὀρθῶς καὶ πρὸς τήνδε τὴν ἀνάβασιν προκόπτειν ἐσπουδακότων. τοῦτο τὸ ἔργον τῶν μεθ' ὑποταγῆς τὴν ἡσυχίαν ἐν κυρίῳ κατὰ τήνδε τὴν ἡμετέραν, μᾶλλον δὲ τοῦ ἠγαπημένου τῷ Χριστῷ Θεολόγου νῆσον μετιέναι βουλευσομένων. ἔσονται δὲ καὶ οὗτοι, ἤγουν οἱ ἀνὰ μέρος ἐν πετρίνοις ὀπαῖς καὶ αὐτοτρόφοις δωματίοις ἢ καὶ ἀναχωρητικοῖς μονοκελλίοις ἡσυχάζειν ὃν εἰρήκαμεν τρόπον μέλλοντες, ἐάν γε καί τινες τοῦτο προαιρούμενοι καὶ ἱκανοὶ κρινόμενοι ἐφευρίσκοιντο, μὴ τὸν τῶν δώδεκα ἀριθμὸν ὑπερβαίνοντες. ταῦτα καὶ περὶ τούτων.

κε'. Ἐβουλόμην ἐνταυθοῖ ῥητῶς ἐπισκῆψαι καὶ περὶ τῆς θεῷ φίλης ἐλεημοσύνης καὶ πτωχοτροφίας, εἴτουν φιλοξενίας, «δι' ἧς», γραφικῶς εἰπεῖν, «ἔλαθόν τινες ξενίσαντες ἀγγέλους», καὶ τῆς τῶν ναυαγούντων ἢ ἄλλως στενουμένων, καὶ εἴτε ἐκ προμηθείας, εἴτε κατά τινα περιπέτειαν εὑρισκομένων ἐν τῇ νήσῳ καὶ προσαιτούντων ἐπικουρίας· σφόδρα γὰρ κήδομαι τῶν τοιούτων ἢ τἀληθὲς εἰπεῖν ὑπεραλγῶ τε καὶ περικαίομαι. ἀλλ' ἐπειδὴ τέως οὐχ ἱκανή τις εὐπορία πρόσεστι τῇ μονῇ, οὐκ ἔκρινα δεῖν ὡρισμένην τυπῶσαι ποσότητα δόσεως, παραινῶ δὲ καὶ ἀδελφικῶς ἐν Χριστῷ παραγγέλλω πᾶσι τοῖς ἐφεξῆς τοῦ καθ' ἡμᾶς

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΜΕΤΑΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΟΥΡΟΣ ΚΑΘΗΓΗΤΗΣ ΝΙΚΟΛΑΟΣ ΜΠΕΚΟΣ
Ε.ΔΙ.ΠΣΚ. ΤΠΙ ΙΩΑΝΝΙΝΑ 2006

φροντιστηρίου τοῦδε προστησομένοις πνευματικοῖς πατράσι καὶ ἀδελφοῖς μου φροντίζειν, ὡς οἷόν τε, τῶν εἰρημένων καὶ προνοεῖν καὶ πολὺν ἀεὶ τῆς φιλοπτωχείας καὶ μεταδόσεως τίθεσθαι λόγον, καὶ μὴ διαλιμπάνειν ἀναλογοῦσαν ἑκάστοτε τῇ τῆς μονῆς εὐπορίᾳ ποιεῖσθαι τὴν τῶν ἐνδεῶν θεραπείαν καὶ χορηγίαν.

κς'. Περὶ τῆς παραδοχῆς τῶν ἀπὸ κόσμου παραβαλλόντων πρὸς τὴν μονήν, ἐφ' ᾧ ἀποτάξασθαι καὶ τὸν ἀσκητικὸν ἐπανελέσθαι βίον κατὰ τὰς ἀνωτέρω δηλωθείσας ὑποτυπώσεις, ἀναγκαῖον εἰπεῖν. ὁπότε τις ἀφίκοιτο λαϊκὸς ἀντιβολῶν δεχθῆναι εἰς τὴν μονήν, ὡς τὸ τῆς ὑποταγῆς διὰ Χριστὸν ὑπεισιέναι βουλόμενος στάδιον, προηγουμένως ὑπὸ τοῦ καθηγουμένου περὶ τῶν καθ' ἑαυτὸν ἐπιμελῶς ἀνερωτάσθω καὶ ἀκριβῶς πολυπραγμονείσθω, μή ποτε οὐ κατὰ φιλοθείαν ἁπλῶς καὶ ψυχικῆς σωτηρίας ἕφεσίν, ἀλλά κατά τινα βιωτικὴν περιπέτειαν ὑπὸ δανειστῶν τυχὸν ἢ πενίας ἄκρας καὶ πρὸς τὸ ἐργάζεσθαι ῥᾳθυμίας ἢ πολυτεχνίας ἤ τινος τοιούτου συνελαυνόμενος ἐλήλυθε πρὸς τὴν μονήν, καθάπερ εἴς τι χρησφύγετον ποριστικὸν ῥαστώνης καὶ ἀπόνου ἀνέσεως. εἰ οὖν τοιαύτη τις οὖσα διαγινώσκοιτο ἡ κρηπὶς τῆς αὐτοῦ ἐγχειρήσεως, καὶ οὕτω σαθρὰ καὶ διαλελυμένα γεῖσσα τῇ πολυμόχθῳ τῆς ἀρετῆς οἰκοδομῇ ὑποτίθησι, δεῖ τῆς κατὰ δύναμιν ἐλεημοσύνης αὐτὸν ἀξιοῦν καὶ ἱλαρῶς μετ' εὐποιίας καὶ τῆς προσηκούσης παραινέσεως ἀποπέμπειν· εἰ δὲ ταῖς ἀληθείαις φανείη κατὰ λόγον ὀρθὸν καὶ θεοφιλῆ σκοπὸν ὁ προσερχόμενος ἀφικόμενος, προσδεχέσθω κατὰ τοὺς ἱεροὺς κανόνας καὶ πρὸς τοὺς τῆς δοκιμασίας ἄθλους ἀποδυέσθω. καὶ τέως μὲν ἐντὸς τεσσαράκοντα ἡμερῶν παραινείτω αὐτῷ ὁ προεστὼς συνεχῶς, εἰσηγούμενός τε τὰ περὶ τοῦ καθ' ἡμᾶς βίου καὶ ἐξασφαλιζόμενος, εἶτα παρουσίᾳ τῆς ἀδελφότητος ὑπαναγνοὺς αὐτῷ τὸ ἐκ τῶν λεγομένων Μικρῶν 'Ασκητικῶν' τριάκοντα κεφαλαίων τοῦ μεγάλου Βασιλείου ἑπτακαιδέκατον, οὗ ἡ ἀρχή· «χρὴ μέντοι καὶ τοῦτο πεπεῖσθαι σαφῶς, ὅτι ὁ ἅπαξ εἰς σύνδεσμον καὶ συνάφειαν ἐλθὼν πνευματικῆς ἀδελφότητος, οὐχ οἷός τ' ἂν εἴη ἀποκόπτεσθαι καὶ χωρίζεσθαι τούτων, οἷς συνηρμόσθη», καὶ καθεξῆς τὸ ὅλον κεφάλαιον, οὕτως ἀμφιεννύτω αὐτὸν τὸ εἰσαγωγικὸν ἔσθημα καὶ τὸ μέλαν τῆς κεφαλῆς περικάλυμμα. καὶ διαγέτω ἔκτοτε οὗτος ἐν τῷ ἀποτακτικῷ καλουμένῳ παρὰ τῶν πατέρων ἐνδύματι, τοῖς τῆς ὑποταγῆς ἔργοις ἐγγυμναζόμενος, ἄχρις ἂν ὁ τῆς ἀποκάρσεως χρόνος ἐνστῇ, κατὰ τὴν οἰκονομικὴν διαφορὰν καὶ κατὰ πᾶσαν ἁπλῶς τὴν περίληψιν τοῦ πέμπτου κανόνος τῆς ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἱερῶν ἀποστόλων συναθροισθείσης πρώτης καὶ δευτέρας συνόδου, σαφῶς οὑτωσί δηλοῦντος: «ὥρισεν ἡ ἁγία σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθεὶς δοκίμους αὐτοὺς καὶ ἀξίους τῆς τηλικαύτης βιοτῆς παραστήσῃ,

καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο. πλὴν εἰ μή που τις βαρεῖα προσπεσοῦσα νόσος τὸν χρόνον ἀναγκάσει συσταλῆναι τῆς δοκιμασίας ἢ εἰ μή πού τις εἴη ἀνὴρ εὐλαβὴς καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων· ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρὸς εἰς ἀπόπειραν παντελῆ ὁ ἑξαμηνιαῖος ἀρκέσει χρόνος». ἀλλὰ ταῦτα μὲν περὶ τῶν ἀπὸ κοσμικοῦ βίου προσερχομένων. ἐπεὶ δὲ εἰκός ἐστι καὶ ἀφ' ἑτέρων μοναστηρίων τινὰς προσιέναι, γινέσθω καὶ ἐπ' αὐτοῖς τὰ τοῖς θείοις κανόσι τεθεσμοθετημένα, πρὸς δὲ καὶ ἅπερ ὁ ἱερὸς καὶ μέγας Βασίλειος ἐν τοῖς ἀσκητικοῖς αὐτοῦ συντάγμασι περὶ τούτων παρεκελεύσατο.

κζ'. Ἀλλ', ὦ Χριστὲ σῶτερ, ἐνυπόστατε λόγε θεοῦ, ὦ τῷ πατρὶ συνάναρχε, καὶ τῷ πνεύματι ὁμοούσιε καὶ ὁμότιμε, ὦ νέε Ἀδὰμ ὅλον τὸν παλαιὸν φορέσας Ἀδάμ, πλὴν τῆς ἁμαρτίας, καὶ μείνας ὃ ἦς, καὶ γεγονὼς ὅπερ ἐκεῖνος, ἵν' ἐκεῖνον ἀποτελέσῃς, ὅπερ αὐτός, καὶ μετὰ τὴν ἄρρητον ἕνωσιν φυλάξας ἀσυγχύτους τὰς ἑκατέρας φύσεως ἰδιότητας καὶ παθὼν ἀπαθῶς διὰ τὸν παθόντα καὶ θανὼν σαρκικῶς διὰ τὸν θανόντα, καὶ καταβὰς εἰς Ἅιδην διὰ τὰς ἐν Ἅιδου κατεχομένας ψυχάς, καὶ τῇ θείᾳ σου δυνάμει «πύλας χαλκᾶς», προφητικῶς φάναι, «καὶ μοχλοὺς σιδηροῦς συντρίψας». «καὶ θάνατον καταργήσας καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου καταπατήσας διάβολον» καὶ διὰ τοῦ ἡμετέρου φυράματος ἐγκαινίσας ἡμῖν ἐν σεαυτῷ τὴν ἀνάστασιν καὶ συνυψώσας καὶ συγκαθίσας ἡμᾶς τῷ πατρικῷ θρόνῳ, καὶ συνδοξάσας εἰς ζωὴν αἰώνιον καὶ ἀκήρατον, δέχου τὴν εὐτελῆ καὶ οἰκτράν μου παράκλησιν, ταῖς πρεσβείαις τῆς ὑπερφυῶς καὶ ἀπορρήτως κυησάσης σε ἀειπαρθένου καὶ θεομήτορος καὶ τοῦ ἠγαπημένου σου μαθητοῦ καὶ θεολόγου, καὶ μὴ ἐάσῃς ἀνήνυτα καὶ ἄπρακτα καταλειφθῆναι τὰ παρ' ἐμοῦ πρὸς σὴν εὐαρέστησιν τοῖς ἐμοῖς ἀδελφοῖς καὶ τέκνοις διαταγέντα, μηδὲ «ὡς τὰ παρὰ τὴν ὁδὸν ἢ τοὺς πετρώδεις τόπους σπαρέντα καταπατηθῆναι», ᾗ φησι τὸ ἱερὸν καὶ πάνσεπτον εὐαγγέλιον, ἢ «ξηρανθῆναι» καὶ ἀτελεσφόρητα μεῖναι, ἀλλ' ἐνεργὰ καὶ ἔμπρακτα γένοιντο, κύριε καὶ θεέ, καὶ πολύχουν τῷ γεωργῷ προσφέροντα τὸν καρπόν.

κη'. Ἐμοὶ μὲν οὖν, ὦ ἀδελφοὶ καὶ πατέρες, ὁ παρὼν τῆς διαταγῆς ὑπετέθη θεμέλιος, ὡς ἡ τοῦ θεοῦ χάρις ἐπένευσεν· ὑμῶν δὲ ἕκαστος βλεπέτω πῶς ἐποικοδομεῖ· «ἑκάστου γάρ», κατὰ τὸν εἰπόντα, «ὁποῖον ἐστὶ τὸ ἔργον, φανερὸν γενήσεται». «καὶ μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος εὑρήσει ποιοῦντα, ὡς προσετάγη». ἄκουε τοίνυν ὁ προεστώς, τί φησιν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος· «οὗτος ὅρος πάσης πνευματικῆς προστασίας, πανταχοῦ τὸ καθ' ἑαυτὸν περιορᾶν πρὸς τὸ τῶν ἄλλων συμφέρον». ἀγάπησον οὖν σου τὴν ἀδελφότητα τῶν ὑπὸ σοὶ τεταγμένων πάντων, ὡς ἰδίων τέκνων ἀντιποιηθῆτι, καὶ

ὡς οἰκείων σπλάγχνων ἐπιμελήθητι, πρέπουσαν ἑκάστῳ πρόσαγε καὶ καταλληλον τὴν κυβέρνησιν, τῷ ἰσχυρῷ, τῷ ταλαιπώρῳ, τῷ συνετῷ, τῷ ἀμαθεῖ, τῷ νέῳ, τῷ γέροντι· «ἐπίστηθι καὶ αὐτός», ἀποστολικῶς εἰπεῖν, «εὐκαίρως, ἀκαίρως· ἔλεγξον, παρακάλεσον, ἐπιτίμησον», εἰρήνευσον, παίδευσον, συνέτισον, διαίτησον ἑκάστῳ τὸ πρόσφορον, μήτε διὰ δόξαν ἐπιεικείας καὶ κολακείαν ἐφησυχάζων τοῖς πταίουσι, μήτε δι' ἀπέχθειαν ἢ μικροψυχίαν ἀνθρωπίνην ἀκρίτως ἐπεξιών. ὑμεῖς δέ, ὦ τέκνα καὶ ἀδελφοί, τηρήσατέ μοι τὰς πατρικὰς ἐντολάς, ἐπιμελεῖσθε πρὸς τοῖς ἄλλοις καὶ τῆς ἐν ἤθεσιν εὐταξίας καὶ κοσμιότητος, ἀποσκορακίσατε ἀργολογίαν καὶ γέλωτα ἀκρατῆ, μισήσατε συνελεύσεις ἀκαίρους καὶ φατρίας καὶ ἑταιρίας καὶ ἔριδας, μηδεὶς ἔστω λαθροφαγῶν ἢ λαθροποτῶν ἤ τι τῶν τῆς μονῆς ὁπωσδήποτε νοσφιζόμενος· μηδεὶς δεχέσθω γράμμα γνώμης ἄτερ τοῦ προεστῶτος ἢ καὶ αὐτὸς που κρύβδην ἀποστελλέτω, πρὸς ἀλλήλους μὲν κέκτησθε σύμπνοιαν, εὐλάβειαν, φιλαδελφίαν, εἰρηνολογίαν καὶ εἴ τι τούτοις ἐστὶν ἑπόμενον, πρὸς δὲ τοὺς ἐν Χριστῷ πνευματικοὺς κατέρας ὑμῶν, ἤτοι τοὺς ἡγουμένους, εἰλικρινῆ καὶ ἀνυπόκριτον ἀγάπην καὶ πίστιν καὶ ὑπακοὴν διασώζετε, εἴ γε βούλοισθε κρείττους πειρασμῶν ἀεὶ πεφηνέναι καὶ τῶν τοῦ ἀντικειμένου βελῶν ὑπερίπτασθαι «καὶ ὁ θεὸς τῆς εἰρήνης καταρτίσαι ἡμᾶς εἰς πᾶν ἀγαθόν», καὶ τῇ αὐτοῦ χάριτι ἀξιοθείημεν ποίμνη τε ὁμοῦ καὶ ποιμένες τῆς αἰωνίου ζωῆς, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. ἀμήν †

† Ἡ μέν τοι παροῦσα διάταξις ἐπιστώθη τῇ ἐμῇ αὐτοχείρῳ ὑπογραφῇ μηνὶ μαΐῳ η', ἰνδικτιῶνος ιδ', ἔτει ,ϛφιηθ' †

† Ὁ εὐτελὴς καὶ ἁμαρτωλὸς μοναχὸς Χριστόδουλος ὁ Λατρηνὸς τὴν παροῦσάν μου διάταξιν βεβαιῶν οἰκειοχείρως ὑπέγραψα †

Primus edidit Ephraim, monachus Atheniensis, in libro: Βίβλος περιέχουσα κανόνας μερικῶν τινων ἁγίων, ἐν ᾗ προσετέθη εὐχή τις τοῦ Συμεῶνος διὰ στίχων εἰς τὴν παναγίαν τριάδα καὶ ἕτερα μικρὰ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ οἱ κδ' οἶκοι τοῦ παναγίου σταυροῦ μετὰ καὶ προτροπῆς τινος πρὸς τοὺς ἐν Κύκκῳ πατέρας πολιτεύεσθαι κατὰ τὴν ῥηθεῖσαν ὑποτύπωσιν. ἔτι καί τινα τροπάρια κατανυκτικὰ μετὰ τριῶν παρακλητικῶν κανόνων. *Venetiis, Ant. Bartoli, 1756. Iterum ex exemplari, quod exstat in cod. bibliothecae coenobii S. Ioannis in insula Patmo Nro. 267 (archetypum deperditum est), Ioannes Sakkelion in libro:* Ἀκολουθία ἱερὰ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Χριστοδούλου. Ἔκδοσις τρίτη Κυριλλου ἱεροδιακόνου Βοΐνη. *Athenis, 1884, p. 63.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΓΛΩΣΣΟΛΟΓΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΚΑΘΗΓΗΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΚΟΙΝΟΤΗΤΑΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΣΥΝΕΡΓΑΤΗΣ ΙΔΡΥΤΙΚΟΥ ΙΔΡΥΜΑΤΟΣ ΜΙΧΑΗΛ ΚΑΡΑΓΙΑΝΝΗ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΣΥΝΕΡΓΑΤΗΣ ΙΔΡΥΤΙΚΟΥ ΙΔΡΥΜΑΤΟΣ ΜΙΧΑΗΛ ΚΑΡΑΓΙΑΝΝΗ Ε. ΔΑΡΔΗΣ Κ. ΓΙ ΙΩΑΝΝΙΝΑ 2006

XX. 6601—1093, die 10 et 15 mensis martii, ind. I.

Testamentum et codicillus Sancti Christoduli.

I. Μυστικὴ διαθήκη τοῦ ὁσίου Χριστοδούλου.

† Χριστόδουλος μοναχὸς ὁ τοῦ Λάτρου οἰκείᾳ χειρὶ προέταξα †

Οἶμοι, πῶς ἀπατώμεθα οἱ ἄθλιοι, πῶς μάτην πονῶμεν, καὶ ὑπερφρονῶμεν τὰ οὐράνια, τῶν δ' ἐπιγείων ἀντιποιώμεθα . . . . . διὰ τὸ τοῦ . . . . . μωστήριον . . . καὶ ἡ τῆς ψυχῆς ἐκ τοῦ σώματος βιαία ἀπόζευξις . . . . . κατὰ τὸν προφήτην τὸν λέγοντα· «ὦ κύριε, ἐλέησόν με . . . . . μὴ ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος, ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον.» ὅθεν κἀγὼ ὁ ἐν μοναχοῖς ταπεινὸς Χριστόδουλος ὁ Λατρηνός, ἐν ἀρρωστίᾳ μὲν σωματικῇ καταλιφθείς, οὐ μὴν δὲ τὰς φρένας παραβλαβεὶς ἢ παρασφαλείς, ἀλλὰ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σώας· καὶ ἐρρωμένας ταύτας κέκτημαι, πτοούμενος τὸ τοῦ θανάτου ἄδηλον τέλος καὶ ἀπαραίτητον, μήπως, ὡς τοῖς πολλοῖς . . . . . , ἐπελθὼν τῶν ἐντεῦθεν διαζεύξῃ με ἐν ἡμέρᾳ καὶ ὥρᾳ, ᾗ οὐ προσδοκῶ, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον περὶ τῶν κατ' ἐμὲ πάντων διελθόντων βασιλικῶς διατίθεμαι οὕτως· καὶ γὰρ αἱ δύο νῆσοι ἐξ ὁλοκλήρου, ἥ τε Πάτμος καὶ ἡ Λειψὼ μετὰ καὶ τῶν δύο προαστείων τῶν ἐν τῇ νήσῳ Λέρῳ, τοῦ τε Παρθενίου καὶ τοῦ Τεμενίου, καὶ αὐτῶν ἐξ ὁλοκλήρου προσελθόντων μοι διὰ θωρεαστικοῦ ἁγίου καὶ προσκυνητοῦ χρυσοβούλλου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, λογισίμων τε καὶ συμπεπαθημένων φυλαττομένων διὰ τῆς ἀντιλήψεως τῆς ἁγίας αὐτοῦ βασιλείας, ὡς τὸ αὐτὸ θεῖον χρυσόβουλλον σαφέστερον παρίστησιν. ἐν ταύταις οὖν ταῖς νήσοις προσπελάσαντός μου, ὅτε καὶ τὸ προσκυνητὸν χρυσόβουλλον ἐπορίσθη μοι, βουλόμενος δὲ τὴν ἐπ' ὀνόματι τιμωμένην τοῦ ἠγαπημένου, πανευφήμου ἀποστόλου, παρθένου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐκκλησίαν ἱδρῦσαι, τὴν ἐν Πάτμῳ, καὶ μοναστήριον τούτῳ ἀφιερῶσαι εὐλαβῶν ἀνδρῶν . . . . . καὶ τοὺς ὑπ' ἐμὲ μοναχοὺς καὶ ἀδελφούς. ἐναρξάμενος δὲ πρότερον καστέλλιον καὶ ἀνεβίβασα τοῦτο, ὅσον ἠδυνήθην, καταλείψας τοῦτο ἀτελές, διὰ τὸ ἀποχωρῆσαί με τῶν ἐκεῖσε, ὡς ἀπὸ τῆς γενομένης ἐπιδρομῆς τῶν ἀθέων Τούρκων εἰς τὰς τοιαύτας νήσους, ἀπολειφθέντων . . . . . πάντων ἐν ταῖς τοιαύταις νήσοις . . . . . λεπτῶν ζώων καὶ λοιπῆς ὑπάρξεως, ἧς . . . . . τῆς εἰρημένης γενέσθαι μονῆς. καὶ θέλω καὶ βούλομαι ἐκ τούτων πάντων τῶν καταλειφθέντων

μοι, μετὰ τῶν εἰρημένων νησίων, τὸν μοναχὸν Ἀρσένιον τὸν Σκηνούριον, τὸν ὄντα εἰς τὰ Ἱεροσόλυμα, καταλιπεῖν αὐτὸν ἀντ' ἐμοῦ κύριον καὶ ἐξουσιαστὴν εἰς τὸ εἰτελὲς μοναστήριον τοῦ τιμίου καὶ ἡγαπημένου Θεολόγου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ μετὰ πάντων τῶν διαφερόντων αὐτῷ, καθὼς τὸ θεῖον καὶ προσκυνητὸν χρυσόβουλλον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως διαλαμβάνει. ὡσαύτως καταλιμπάνω εἰς τὴν αὐτὴν μονὴν καὶ τὰ τέσσαρα πλοῖα, τὸ μὲν ἓν κουτρούβιν πιστικευόμενον παρὰ Ἰωάννου τοῦ Παγκᾶ, ἔχον νομίσματα . . . . . διακόσια χιάτα. ἕτερον πλοῖον πλατίδιον δικάταρτον πιστικευόμενον παρὰ Βασιλείου Εὐριπιώτου τοῦ Μονοϊωάννου, ἀπερχομένου νῦν . . . . . νομίσματα τεσσαράκοντα δύο ὑπέρ[πυρα]. ἕτερον πλοῖον πλατίδιον μικρόν, ὅπερ ἀπεστάλη παρὰ τῶν [εὐλαβῶν μου] ἀδελφῶν ἐν τῇ Κρήτῃ ἀπὸ τῆς Πάτμου, πρὸς ὑπηρεσίαν τῆς μονῆς . . . . . Εὐρίπου μετὰ καὶ . . . . . ἐξ ἀρτ . . . . . τῶν τεσσάρων πλοίων, μετὰ καὶ τῶν ζώων ἀπ . . . . . ἀλόγων καὶ λοιπῶν μετὰ καὶ τῆς κατά . . . . . ὑπαρχόντων, ὧν νῦν ἐκτησάμην, τῇ ἀντιλήψει τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, ἤγουν τά τε ἐν τῇ νήσῳ Πάτμῳ καὶ τὰ ἐν τοῖς δυσὶ προαστείοις, τοῦ τε Παρθενίου καὶ τοῦ Τεμενίου, τῶν ἐν τῇ Λέρῳ καὶ τῆς Λειψώ. καὶ εἰ μὲν ἔλθοι ὁ προμνημονευθεὶς μοναχὸς κῦρις Ἀρσένιος ὁ Σκηνούριος ἐν τῇ τοιαύτῃ μονῇ, ἵνα ἔχῃ τὴν ἐξουσίαν καὶ κυριότητα ταύτης καὶ τῶν αὐτῇ διαφερόντων πάντων ἐξ ὁλοκλήρου, ὡς ἀνωτέρῳ δεδήλωται, κατὰ τὴν τοῦ πορισθέντος μοι θείου καὶ προσκυνητοῦ χρυσοβούλλου περίληψιν. εἰ δὲ οὐ καταδέξηται τὴν τοιαύτην ἡγουμενίαν, ἤ, ὡς μεμαθήκαμεν, πρὸς κύριον ἐξεδήμησεν, ἐπαφιῶ τὸ πνευματικόν μου παιδίον, τὸν χαρτουλάριον καὶ πατριαρχικὸν νοτάριον κῦρι Θεοδόσιον, τὸν ἀνεψιὸν τοῦ ἀποιχομένου κυροῦ Βασιλείου, τὸν τοῦ Καστρισίου, ὡς ἂν ἀπελθὼν ἐν τῇ εἰρημένῃ θείᾳ μονῇ καὶ ἀποκειράμενος ἐν αὐτῇ προΐσταται καὶ ἡγουμενεύει, πρωτεύων τῶν ἀδελφῶν πάντων, μὴ ἔχοντος αὐτοῦ τὴν ἄδειαν τοῦ τινὰ τῶν συγγενῶν αὐτοῦ εἰσάγειν ἐν τῇ τοιαύτῃ μονῇ. καὶ εἰ μὲν ἔλθῃ, ὡς προέφημεν, ὁ κῦρις Ἀρσένιος, καὶ βούλεται καὶ θέλει, ἵνα προΐσταται αὐτῆς . . . . . μέχρι θανάτου αὐτοῦ, ἔστω οὕτως. δεύτερος δὲ ἀδελφὸς εἶναι ὁ μνημονευθεὶς κῦρις Θεοδόσιος εἰς τὴν μονὴν μετὰ τὸ ἀποκαρῆναι αὐτόν. εἰ δέ, ὡς προέφημεν, οὐκ ἔλθῃ ὁ μοναχὸς Ἀρσένιος, ἵνα διοικῇ πάντα τὰ τῆς μονῆς ὁ πνευματικὸς ἀδελφὸς ἡμῶν Θεοδόσιος, καὶ λάβῃ κυρίαν καὶ αὐτεξούσιον τὴν δωρεάν μου, καθὼς ἔλαβον ἐγὼ ὁ δηλωθεὶς μοναχὸς Χριστόδουλος παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, τοῦτο μόνον φυλάττειν αὐτὸν τοῦ μὴ προσφέρειν τινὰς ἐν τῇ μονῇ τῶν συγγενῶν αὐτοῦ, τὰ δ' ἄλλα

πάντα ἐξουσιάζειν, κατὰ τὴν μοναχικὴν ἀκρίβειαν καὶ συντήρησιν, ἀναλαβόμενος μετ' αὐτοῦ μοναχὸν ἀκριβῆ καὶ νουνεχῆ, ὃν ἂν θελήσῃ καὶ πέμψῃ ὁ θεός, πρὸς τὸ ἔχειν παιδοτρίβην εἰς τὴν πνευματικὴν κατάστασιν, μὴ κωλυόμενος παρά τε τῶν μοναχῶν ἢ περὶ οὗ ἔφημεν παιδοτρίβου, ἀλλ' ἔχειν αὐτὸν πᾶσαν τὴν ἐξουσίαν καὶ χωριότητα καὶ ἀναφαίρετον δεσποτείαν, ψάλλειν τε καὶ ὑπερεύχεσθαι ὑπέρ τε τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, παντὸς τοῦ κόσμου καὶ τῆς ἐμῆς ἀναξιότητος μνημονεύειν. εἰσὶ δὲ οἱ καταλειφθέντες μοναχοὶ ἐν τῇ τοιαύτῃ μονῇ, Νεόφυτος μοναχός, Ἰωάννης μοναχός, Σάββας μοναχός, Στέφανος μοναχός, Ἰάκωβος μοναχός, Νικήτας μοναχός, καὶ . . . . . Ἰωαννίκιος μοναχός, ὁ Καστελλίτης Ἰωάννης, ὁ παπᾶ Γεώργιος ὁ Λέριος, καὶ ὅσα παιδία διὰ τὸν θεὸν ἐκ βρέφους ἀνεθρεψάμην. καὶ εἰ μέν καρτεροῦσι καὶ δουλεύουσι καλὸν εἰς τὴν αὐτὴν μονήν, ἵνα εἶσι καὶ οὗτοι ἀδελφοί. ὁ δὲ μοναχὸς Λουκᾶς καὶ ὁ μοναχὸς Κύριλλος καὶ ὁ μοναχὸς Ζωΐλος, ἐπεὶ ἀπεσκίρτησαν καὶ ἐχωρίσθησαν ἀπ' ἐμοῦ, εἰ βούλονται προσελθεῖν βαλόντες μεντάνοιαν, ὥπερ τῇ ἐξουσίᾳ μου τῇ ἀντιλήψει τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἐδωρησάμην, ἵνα δέξηται αὐτοὺς καὶ κατὰ τὴν τάξιν ἑνὸς ἑκάστου διανέμῃ, μὴ ἔχειν τε αὐτούς, τὸν . . . . . Κύριλλον καὶ Λουκᾶν ἢ καί τινας ἄλλους τῶν μοναχῶν τῆς αὐτῆς μονῆς ἐπανίστασθαι τῷ ῥηθέντι χαριστικαρίῳ ἡμῶν κυρῷ Θεοδοσίῳ τῷ τοῦ Καστρισίου, ἐν οἷς πράττει καὶ βούλεται, μὴ κωλυόμενος παρ' οἱουδήτινος προσώπου, ἀλλ', ὡς προέφημεν, τοῦτο μόνον φυλάττειν αὐτὸν περὶ τῶν συγγενῶν αὐτοῦ, τοῦ μὴ βλαβῆναι τὴν ψυχὴν αὐτοῦ δι' αὐτούς· τὰ δ' ἄλλα πάντα εἰσπράττειν καὶ διευθετεῖν τῶν ἐν τῇ μονῇ ἀκωλύτως καὶ βελτιοῦν ἀνοικοδομῶν, ὡς δυνάμενος ἔχει, καὶ κυρίως καὶ αὐθεντικῶς παρ' ὅλην βιοτὴν αὐτοῦ, καθὼς καὶ παρ' ἐμοὶ ὑπῆρχεν ἡ ἐξουσία ἐν τῇ ῥηθείσῃ μονῇ, τῇ ἀντιλήψει τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως. σὺν τούτοις πᾶσι καὶ τὰ βιβλία μου (καθὼς ἡ ἀπογραφὴ αὐτῶν περιέχει, [ἣ] καὶ ὑπεγράφη οἰκειοχείρως παρ' ἐμοῦ) πάντα, ἵνα εἶσι ἐν τῇ τοιαύτῃ μονῇ τῆς Πάτμου, ἤντινα ἀπογραφὴν τῶν ἱερῶν δέλτων δέδωκα τῷ ῥηθέντι παιδί μου πνευματικῷ, κυρῷ Θεοδωσίῳ, πρὸς τὸ μὴ λαθεῖν τι ἀπ' αὐτῶν. τοὺς δὲ τρεῖς μου ἀνεψιούς, τόν τε μοναχὸν Θεοφάνην καὶ παροικονόμον τῶν Στουδίων, Ἐπιφάνιον καὶ Ἰωάννην, ξένους παντάπασι ποιῶ ἀπὸ τῆς ἐμῆς μάνδρας, οὐκ ἔχοντες ἐξουσίαν εἷς ἐκ τούτων ποτὲ καιροῦ ἢ χρόνου κτεῖν τι ἢ λέγειν πρὸς τὸν ἐμὸν χαριστικάριον καὶ τῶν ἐν τῇ μονῇ διαφερόντων. τὸν δὲ μοναχὸν Θεοδώρητον, ἐὰν καὶ ἐπέλθῃ θάνατος, ἀφιῶ αὐτῷ νομίσματα ἐννέα χιάτα λαβεῖν ἐκ τῆς μονῆς μου ὑπὲρ ψυχικῆς μου σωτηρίας, καὶ ἀπέρχεσθαι, ὅπου κελεύει. τὰς δὲ ἱερὰς καὶ θείας εἰκόνας, ἃς ἔχω ἐν τῷ

Εὐρίπῳ, τὸν Χριστόν, τὴν Θεοτόκον καὶ τὸν Ἀσώματον, ἱστορημένας εἰς ἓν σανίδιον ὑλογρα[φικάς]. ἑτέρα εἰκὼν ἡ Σταύρωσις, ἔχουσα καὶ τὸν ἅγιον Θεολόγον. ἑτέρα εἰκὼν δίπτυχος, ἔχουσα τὰς δεσποτικὰς ἑορτάς, καταλιμπάνω καὶ ταύτας εἰς τὴν δηλωθεῖσαν μονήν. τὰ δὲ πλοῖα τὰ ἀνωτέρω εἰρημένα ὀφείλουσι λογαριασθῆναι, δσα ἂν ταξείδια ποιήσουσιν οἱ πιστικεύοντες ταῦτα, παρὰ τοῦ χαριστικαρίου καὶ τῶν μοναχῶν. ἑτέρα εἰκὼν ἡ Θεοτόκος ὑλογρα[φικὴ] καὶ ταύτην ἀφιῶ εἰς τὸ ῥηθὲν μοναστήριον. τοὺς δὲ ἀνεψιούς μου τοὺς ἀνωτέρω ῥηθέντας μόνην τὴν εὐχήν μου ἀφιῶ αὐτοῖς. οἱ γὰρ μοναχοὶ οἱ πλείονες μετὰ τὴν ἐπέλευσιν τῶν ἐθνῶν μετανάσται γεγόνασιν, ἄλλος ἀλλαχόθι διασπαρέντες ἀπὸ φόβου αὐτῶν· δσοι ἀπ' αὐτῶν ὑποστρέψουσιν ἐν τῇ εἰρημένῃ μονῇ, βαλόντες μετάνοιαν τῷ χαριστικαρίῳ Θεοδοσίῳ, τῷ τοῦ Καστρισίου, ἐξ εἰλικρινοῦς ἀγάπης καὶ πίστεως, προσδέχωνται παρ' αὐτοῦ. ἔτι δὲ καὶ τοῦτο φυλάττειν προστάσσω τὸν εἰρημένον χαριστικάριον, τοῦ μηκέτι ἔχειν ἐξουσίαν παραπέμπειν τὸ τοιοῦτον μοναστήριον εἴς τινα τῶν μοναστηρίων, ἀλλ' αὐτοδέσποτον καὶ αὐτεξούσιον διατηρηθήσεται μέχρι τῆς τοῦ κόσμου συντελείας, κατὰ τὴν τοῦ θείου καὶ προσκυνητοῦ χρυσοβούλλου περίληψιν. δστις οὖν τὰ παρ' ἐμοῦ ὁρισθέντα ἀκυροῦν τολμήσει ἢ ἐναντιωθῇ κατὰ τῆς παρούσης μου μυστικῆς διαθήκης ἢ τῇ μονῇ ταύτῃ καὶ τοῖς ῥηθεῖσι χαριστικαρίοις μου, ὁποῖος καὶ τύχῃ εἶναι, ἔστω αὐτῷ ἀνάθεμα ἀπὸ κυρίου θεοῦ παντοκράτορος, ξένος καὶ ἀλλότριος ὑπάρχων τῆς ἀμωμήτου πίστεως τῶν χριστιανῶν, κληρονομῶν τὴν ἀρὰν τῶν τιη' ἁγίων θεοφόρων πατέρων καὶ τὴν ἐμὴν ἀρὰν τοῦ ἁμαρτωλοῦ, καὶ μετ' ἐκείνων καταλογισθῇ ἡ μερὶς αὐτοῦ, τῶν κραξάντων· «ἆρον, ἆρον, σταύρωσον τὸν τοῦ θεοῦ υἱόν». ἐπὶ τούτῳ γὰρ καὶ τὴν παροῦσάν μου ἐσφραγισμένην καὶ μυστικὴν διαθήκην ἐξεθέμην, γραφεῖσαν τῇ προτροπῇ μου χειρὶ Γεωργίου, πρεσβυτέρου καὶ νοταρίου Εὐρίπου, τοῦ ἐκ Στροβήλου, μηνὶ μαρτίῳ δεκάτῃ, ὥρα ἐννάτῃ, ἡμέρᾳ πέμπτῃ, ἰνδικτιῶνος α'. ἔτει ,ϛχα'., καὶ μάρτυρας προέτρεψα τοῦ ὑπογράψαι καὶ σφραγῖσαι. προστάσσω καὶ τοῦτο, ἵνα . . . . . ἀπέρχηται ὁ νοτάριος Γεώργιος καὶ πρεσβύτερος, τὸ πνευματικόν μου παιδίον, ὁ Στροβηλίτης, τοῦ ἡσυχάσαι ἐν τῇ αὐτῇ μονῇ μετὰ τῶν δύο παιδίων αὐτοῦ, τοῦ ἔχειν ὑποταγὴν μετὰ τῆς λοιπῆς ἀδελφότητος, τοῦ ἀποκαρῆναι καὶ αὐτός, ἵνα ἔξωνται τούτων οἱ προρρηθέντες χαριστικάριοί μου, δστις καὶ τύχῃ ἀπὸ τῶν δύο, καὶ γένηται ἡ πρόνοια αὐτοῦ, ὡς τῶν λοιπῶν μοναχῶν ἀκωλύτως ἐν ταύτῃ τῇ μονῇ μετὰ τῶν δύο παιδίων αὐτοῦ, ἔχωσι δὲ προσπάθειαν εἰς αὐτόν, καθὼς καὶ ἐγὼ εἶχον. †

† Χριστόδουλος, ὁ ἐν μοναχοῖς εὐτελής, ὁ τοῦ Δάτρους, τὴν παροῦσάν μου μυστικὴν διαθήκην ἐκδοὺς καὶ ἀναγνοὺς καὶ κατὰ

πάντα περὶ αὐτῆς ἀρεσθεὶς προέταξα καὶ ὑπέταξα, καὶ τοὺς παρ' ἐμοῦ προσκληθέντας μάρτυρας προέτρεψα τοῦ ὑπογράψαι καὶ σφραγῖσαι. †

† Λέων, πρεσβύτερος καὶ σακελλάριος τῆς πόλεως Εὐρίπου . . . . . πάρειμι ἐν τῇ παρούσῃ μυστικῇ διαθήκῃ τοῦ τιμιωτάτου μοναχοῦ τοῦ κυροῦ Χριστοδούλου καὶ προτραπεὶς παρ' αὐτοῦ, ὡς τὸ ὕφος [δηλοῖ], ὑπέγραψα εἰς τὸ μαρτυρῆσαι καὶ ἐσφράγισα. †

† Ἰωάννης, πρεσβύτερος καὶ νοτάριος τῆς καθ[έδρας] Εὐρίπου, παρὼν ἐπὶ τῇ παρούσῃ μυστικῇ διαθήκῃ τοῦ τιμίου μοναχοῦ κυροῦ Χριστοδούλου καὶ προτραπεὶς παρ' αὐτοῦ, ὡς τὸ ὕφος δηλοῖ, καὶ μάρτυς ὑπέγραψα καὶ ἐσφράγισα. †

† Φώτιος, ὁ εὐτελὴς διάκονος καὶ πρῶτος ἔκδικος . . . . . πάρειμι ἐπὶ τῇ παρούσῃ μυστικῇ διαθήκῃ τοῦ τιμιωτάτου μοναχοῦ κυροῦ Χριστοδούλου καὶ προτραπεὶς παρ' αὐτοῦ, ὡς τὸ ὕφος δηλοῖ, ὑπέγραψα καὶ ἐσφράγισα. †

† . . . . . πρεσβύτερος . . . . . τῆς κα[θέδρας] Εὐρίπου, πάρειμι ἐπὶ τῇ μυστικῇ διαθήκῃ τοῦ τιμιωτάτου μοναχοῦ κυροῦ Χριστοδούλου καὶ προτραπεὶς παρ' αὐτοῦ, ὡς τὸ ὕφος δηλοῖ, καὶ μάρτυς ὑπέγραψα καὶ ἐσφράγισα. †

† Μιχαήλ . . . . . τῆς κα[θέδρας] Εὐρίπου, πάρειμι ἐπὶ τῇ παρούσῃ μυστικῇ διαθήκῃ τοῦ τιμιωτάτου μοναχοῦ κυροῦ Χριστοδούλου καὶ προτραπεὶς παρ' αὐτοῦ, ὡς τὸ ὕφος δηλοῖ, μαρτυρῶν ὑπέγραφα καὶ ἐσφράγισα. †

† Βασίλειος, ὁ εὐτελὴς διάκονος . . . . . καὶ νοτάριος Εὐρίπου, ὁ Στροβηλίτης, πάρειμι ἐπὶ τῇ παρούσῃ μυστικῇ διαθήκῃ τοῦ αἰδεσιμωτάτου μοναχοῦ κυροῦ Χριστοδούλου καὶ προτραπεὶς ὑπ' αὐτοῦ, ὡς τὸ ὕφος [δηλοῖ], ὑπέγραψα εἰς τὸ μαρτυρῆσαι καὶ ἐσφράγισα. †

† . . . . . τῆς κα[θέδρας] Εὐρίπου, πάρειμι ἐπὶ τῇ παρούσῃ μυστικῇ διαθήκῃ τοῦ τιμιωτάτου μοναχοῦ κυροῦ Χριστοδούλου καὶ προτραπεὶς παρ' αὐτοῦ ὑπέγραψα καὶ ἐσφράγισα. †

II. Κωδίκελλος τοῦ αὐτοῦ ὁσίου πατρός.

† Χριστόδουλος μοναχὸς ὁ τοῦ Λάτρου οἰκείᾳ χειρὶ προέταξα. †

† Χριστόδουλος, ὁ ἐν μοναχοῖς ταπεινὸς ὁ τοῦ Λάτρου, τὸν παρόντα κωδί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΘΗΜΑΤΙΚΗΣ ΠΡΟΕΤΟΙΜΑΣΙΑΣ ΚΑΙ ΜΕΤΑΦΡΑΣΗΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΚΕΙΜΕΝΩΝ ΤΗΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΤΕΡΑΣ ΕΠΟΧΗΣ ΙΩΑΝΝΙΝΑ 2006

κελλον τῆς παρ' ἐμοῦ γεγονυίας μυστικῆς διαθήκης ἀναπληρῶν, χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σώας καὶ ἐρρωμένας τὰς κατ' ἐμαυτὸν φρένας . . . . . διορίζομαι καὶ τοῦτο· ὡς ἂν ἔχειν ἐξουσίαν τὸν χαριστικάριόν μου, κῦρ Θεοδόσιον τὸν τοῦ Καστριαίου, τὸ πνευματικόν μου παιδίον, τοῦ προίστασθαι . . . . . τῶν μοναχῶν . . . . . καὶ διευθετεῖν ἅπαντα τὰ τῆς μονῆς ἀντ' αὐτοῦ. εἶναι δὲ τὸν τοιοῦτον . . . . . καὶ . . . . . καὶ πιστόν. καὶ πρὸ πάντων ἔχετε τὸν τοῦ θεοῦ φόβον . . . . . ἀβόλως . . . . . παρ' αὐτοῦ. καταλιμπάνω δὲ ἀρτίως τὸν μοναχὸν Νεόφυτον [δοχει]άριον ἐν τῇ ἡμῶν μονῇ, ὡς ἂν οἰκονομῇ καὶ διοικῇ τὰ τῶν ὑπ' ἐμὲ μοναχῶν πάντα, ἔχειν τοῦτον πᾶσαν ὑποταγὴν πρὸς τὸν ῥηθέντα χαριστικάριόν μου κῦριν Θεοδόσιον· οὗτος ὁ ῥηθεὶς οἰκονομεύειν *(sic)*· εἰ δὲ οὐκ ἔνι εἰς ἀνάπαυσιν αὐτοῦ τε καὶ τῶν μοναχῶν, μετὰ τὰς ἐπιτιμήσεις δύο ἢ τρεῖς, εἰ μὲν καταλιμπάνει αὐτὸς σκάνδαλα, καὶ βάλλει ἀρχὴν πρὸς τὸν χαριστικάριον, ἐξομολογούμενος τὸ ἴδιον πταῖσμα αὐτοῦ, ἔστω· εἰ δ' οὔν, ἀποδιώκεσθαι τοῦτον καὶ ποιεῖν ἀντ' αὐτοῦ τὸν μέλλοντα δικαίως καὶ εὐσεβῶς διοικεῖν ἅπαντα τα . . . . . εἰς ἀνάπαυσιν τῶν μοναχῶν, ἐπεὶ τὸν παρόντα χαριστικάριον κύριον καὶ αὐτεξούσιον πεποίηκα εἰς τὴν ὑπ' ἐμὲ μονὴν καὶ τῶν ὑπ' αὐτὴν πάντων, καθὼς καὶ ἐγὼ εἶχον τὴν ἐξουσίαν ἐν τῇ ζωῇ καὶ χαρᾷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, μὴ ἔχειν ἐξουσίαν τὸν προϊστάμενον, ἄνευ εἰδήσεως καὶ βουλῆς τοῦ χαριστικαρίου, πράττειν ἢ ποιεῖν τι τὸ οἱονοῦν ἐκ τῶν ἀνηκόντων δουλειῶν τῆς αὐτῆς μονῆς, ἀλλὰ μετὰ βουλῆς αὐτοῦ πάντα οἰκονομεῖν. τίνεσθαι δὲ ἐντέλλομαι εὐχὰς τῶν μοναχῶν κατὰ τὸ δέον καὶ [τὴν] ἀκρίβειαν τῆς μοναχικῆς τάξεως, καὶ κατὰ τὴν ὕπαρξιν καὶ δύναμιν τῆς τοιαύτης μονῆς. ἐν δὲ τῇ τραπέζῃ τῶν μοναχῶν μὴ ἔχειν ἐξουσίαν τοῦ καθέζεσθαι κοσμικὸν ἐκτὸς τοῦ Πάσχα, τῆς Πεντηκοστῆς, τοῦ Δωδεκαημέρου, τῶν ἁγίων Ἀποστόλων καὶ τῆς Τυρινῆς. τοὺς δὲ ὑπουργοὺς τοὺς δουλεύοντας τῇ μονῇ μὴ ἔχειν ἐξουσίαν καθέζεσθαι ἐν τῇ τραπέζῃ ἢ οἶνον πίνειν, ἕως ὅτου φέρωσι γενειάδα· εἰ δὲ εἰσὶ σπανοί, διακρίνει αὐτοὺς ὅ τε χαριστικάριος αὐτῶν καὶ οἱ ἐπιμελούμενοι ἀρετῆς μοναχοί. ἔχειν δὲ τοὺς μοναχοὺς πᾶσαν ὑποταγὴν εἰς τὸν προϊστάμενον αὐτοῖς οἰκονομεῖν, καθὼς καὶ οὗτος ὀφείλει ἔχειν ὑποταγὴν πρὸς τὸν χαριστικάριον αὐτοῦ. σὺ δέ, τέκνον Ἐπιφάνιε γραμματικέ, ἀγωνίσθητι τελειῶσαι τὴν φιλοσοφίαν, καὶ ἄρχεσθαι τὴν αἰώνιον φιλοσοφίαν μὴ παραιτεῖσθαι, ἀλλὰ καὶ τῷ θείῳ σου ταύτην ἐκπαίδευε. τὰ δὲ δικαιώματα πάντα τὰ τῆς μονῆς, Ἐπιφάνιε, διὰ τὸν θεὸν καὶ ἵνα ἔχῃς τὴν εὐχήν μου, μὴ γένηται ἀποκρυβή τινος χρυσοβούλλου ἢ τῶν τυχόντων ἄλλων ἢ τῶν βιβλίων, ὧν ἔχεις αὐτόθι, ἀλλὰ πάντα σῶα καὶ ἀνελλιπῆ

ἐπίδος τῷ ἀντὶ ἐμοῦ καταλειφθέντι χαριστικαρίῳ καὶ δεσπότῃ τοῦ μοναστηρίου καὶ τῶν ἐν αὐτῷ πάντων, παιδί μου πνευματικῷ, τῷ τοῦ Καστρισίου κυρῷ Θεοδοσίῳ, εἴπερ οὐ βούλει ἐν τῇ μελλούσῃ κρίσει καὶ ἀνταποδόσει περὶ τούτων ὑφέξειν λόγους. ἐπεὶ γὰρ οὗτος ἔνεκε τούτων εἰσελθεῖν μέλλει ἐν τῇ Πόλει καὶ τοῦ ἀποχαιρετῆσαι τοὺς αὐταδέλφους καὶ συγγενεῖς αὐτοῦ· καὶ γὰρ τὰ λοιπὰ πάντα τὰ τῆς μονῆς παρεδόθησαν αὐτῷ, ὡς βούλομαι, καὶ ἐποίησέ μοι λόγον καὶ λογισμόν, ἅμα τῷ κατελθεῖν ἀπὸ τῶν αὐτόθι τοῦτον, ἀποκαρῆναι καὶ ὑπομνῆσαι περὶ τούτου τὸν ἅγιον καὶ κραταιὸν ἡμῶν βασιλέα περὶ τῆς μονῆς τῆς ἐν τῇ Κῷ, εἰς ἣν πολλὰ κοπιάσας καὶ τῶν κτημάτων αὐτῆς, καὶ διὰ τοῦτο σπούδασον ὑπομνῆσαι τὸν κῦρι Ἀνδρόνικον, τὸν πρεσβύτερον τῆς ἁγίας ἡμῶν δεσποίνης· ἐπιφέρεται γὰρ καὶ γραφὰς πρὸς τὸν βασιλέα ἡμῶν τὸν ἅγιον καὶ τὴν δέσποιναν. καὶ εἰ βούλει ἔχειν τὴν εὐχήν μου, σπούδασον πάντα γενέσθαι, καὶ μὴ παρίδῃς τὰς ἐμὰς ἐντολὰς καὶ παραινέσεις. σὺν τούτοις πᾶσι καὶ τὰ βιβλία πάντα, ἅπερ ἀπεχαρίσατό μοι ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης κῦρις Νικόλαος (ζῇ κύριος ὁ θεός, ὅτι οὐ ψεύδομαι), κατέλειψα εἰς τὴν αὐτὴν μονήν. καὶ εἴ ποτε πειραθῇ ἀπὸ τοῦ οἰκείου μοναστηρίου τοῦ Στύλου ἢ ἄλλου μοναστηρίου, τοῦ μηδὲν μετέχειν ἐκ τοῦ Λάτρους ἐπιζητεῖν τι ἐκ τῶν δωρηθέντων μοι παρὰ τοῦ ἁγιωτάτου πατριάρχου βιβλίων, ἵνα μὴ εἰσακούηται, ἀλλὰ καὶ τὴν ἀρὰν τῶν τῆ ἁγίων πατέρων ἐπισπᾶται καὶ τὴν ἐμὴν τοῦ ἁμαρτωλοῦ. ἐπεὶ μετὰ δύο καὶ τρεῖς ἀντιθέσεις ἔπεισα τὸν δεσπότην ἀντιστρέψαι πρὸς τὸ Λάτρος τρεῖς μοίρας τῶν βιβλίων καὶ παρεδόθησαν αὐτὰ τῇ ἁγίᾳ Σοφίᾳ, τοῦ φυλάττειν ταύτην τὸ μέρος τῆς μονῆς τοῦ Λάτρους, τὴν δὲ τετάρτην μερίδα, ἐκ τῶν μὴ ἐχόντων κόσμον βιβλίων, παρεδόθησαν ἐμοὶ ἐκ προσταγῆς τοῦ ἁγιωτάτου πατριάρχου, καὶ γέγονεν ἐπὶ συνόδου ἐν τῷ μεγάλῳ σεκρέτῳ σημείωμα καὶ ὑπόμνημα περὶ τῶν τοιούτων βιβλίων· καὶ γὰρ μετὰ τὸ αἰχμαλωτισθῆναι τὸ Μελανούδιον καὶ ἀποσκυβαλισθῆναι τὸ βεστιάριον τοῦ Λάτρους, ὥσπερ δὴ καὶ τῶν λοιπῶν μοναστηρίων, παρὰ τῶν ἀθέων Τούρκων, ἀπέστειλα πλοῖον μετὰ λαοῦ, κρατήσας τὸν οἰκονόμον τὸν κατέχοντα ταῦτα, ἔφερον τοῦτον εἰς τὴν Κῷ μετὰ τῶν βιβλίων, καὶ μετὰ τοῦτο εἰσήνεγκα ταῦτα εἰς τὴν Πόλιν. καὶ εἰ μὴ τοῦτο οὕτως ἐποίησα, ἄρδην ἂν ἀπώλοντο. τὰ δὲ πλείονα τῶν εἰρημένων βιβλίων ἐξ οἰκείων μου κόπων καὶ ἀναλωμάτων ἐξωνησάμην· καὶ ἕνεκεν τούτου, τῆς ἀληθείας συμμαρτυρούσης μοι, ἀνεταξάμην ἐν τῷ παρόντι κωδικέλλῳ μου καὶ περὶ τῶν τοιούτων βιβλίων. τὸν δὲ κῦρι Θεοφάνη, τὸν ἠγαπημένον μοι γέροντα, καὶ τὸν παπᾶ Ἰωάννην ἀποχαρίζομαι τούτοις τὴν εὐχήν μου πλοῦτον πνευματικὸν ἀδάπανον. ἐπεὶ δὲ ἔγγραφον ἐποίησα πρὸς τὸν μοναχὸν Λουκᾶν τὸν

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΘΕΟΛΟΓΙΚΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟΥ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΣΤΑΜΑΤΗΣ
Ε.Γ.Δ. Δημ. Σ. Τ.Π. ΘΕΣΣΑΛΟΝΙΚΗ 2006

Καππαδόκα, τοῦ ἀναλαβέσθαι τοῦτον ἀφ' ἑνὸς τῶν πλοίων μου, οἷον ἂν πρότερον καταλάβηται, τὰ ἄπερ, ὡς ἔλεγε, χρεωστεῖσθαι νομίσματα πεντήκοντα, δέδωκα τούτῳ κἀγὼ λίτραν νομίσματα χιάτα καλὰ δι . . . . καὶ ἀπεπλήρωσα, μὴ ἀναλαβόμενον τὸ ἔγγραφόν μου ἐξ αὐτοῦ. καὶ εἴπερ ποτὲ πειραθῇ πάλαι ἐπιζητεῖν τὰ τοιαῦτα νομίσματα ἀπὸ τῶν πλοίων μου ἢ ἀπὸ τοῦ χαριστικαρίου μου, ἵνα μὴ εἰσακούηται, ἀλλὰ μενεῖ καὶ τὸ ἔγγραφόν μου, ὅπερ πρὸς αὐτὸν ἐποίησα, ἄκυρον καὶ ἀβέβαιον. γενέσθω δὲ καὶ τὸ τυπικὸν περὶ τῆς ψαλμῳδίας τοῦ ἁγίου Σάββα καὶ κρατείτωσαν οἱ μοναχοὶ τὴν ἀκολουθίαν τούτου. ἐπελαθόμην δὲ ἐν τῇ μωστικῇ μου γεγονυίᾳ πρότερον διαθήκῃ τοῦ ἀνατάξαι καὶ τοῦτο· ἐπεὶ γὰρ ὁ ἀοίδιμος καὶ ἀείμνηστος βασιλεύς, κῦρις Νικηφόρος ὁ Βοτανειάτης, ἐδωρήσατό μοι διὰ τιμίου χρυσοβούλλου αὐτοῦ τὸ [τόπιον] ἐν τῇ Κῷ, τὸ Πηλὶ λεγόμενον, καὶ τὰ Καστριανοῦ σὺν καὶ τῷ προαστείῳ τοῦ Περιπάτου, ἔνθα ἐν αὐτῷ ἡ ὑπεραγία Θεοτόκος ναὸς ἔκπαλαι ὑπάρχει, καστέλλιον ἱδρυσάμενος καὶ μονὴν ἀποκαταστήσας ἀνδρῶν εὐλαβῶν καὶ προσκυρώσας ἐν αὐτῇ τῇ μονῇ τὰ περιελθόντα μοι προάστεια δύο βεστάρχου τοῦ Καβαλλουρίου, τὸ Ἀναβασίδιον καὶ τοὺς Καρδιασμένους, καὶ ἕτερα προάστεια τὰ περιελθόντα μοὶ παρὰ τῶν φιλοχρίστων εἰς τὴν τοιαύτην μονήν, ἀπό τε δωρεῶν καὶ ἀγορασιῶν, τὰ πλησίον τῆς τοιαύτης μονῆς ὑπάρχοντα. ἀντ' αὐτῆς δὲ τῆς ἐν τῇ Κῷ μονῆς δεδώκαμέν μοι ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεύς, κῦρις Ἀλέξιος ὁ Κομνηνός, τὴν νῆσον Πάτμον, καὶ ἀναλαβόμενος τὴν ῥηθεῖσαν μονὴν τῆς ὑπεραγίας Θεοτόκου τῆς ἐν τῇ Κῷ μετὰ τῶν ἐν αὐτῇ προαστείων, προσδοκοῦντος ἰσχύσαι τοῦ ἀποκαταστῆσαι μονὴν ἐν τῷ δηλωθέντι νησίῳ τῆς Πάτμου· διὰ δὲ τὸ εἶναι τὸ τοιοῦτον νησίον, ἡ Πάτμος, ἄοικον, κουρσευόμενον παρά τε τῶν Ἀγαρηνῶν, τῶν κουρσαρίων καὶ τῶν Τούρκων καὶ παρὰ πάντων αἰχμαλωτίζεσθαι, δεδιότες οἱ μοναχοί, οὓς εἶχον, ἀπέφυγον ἀπ' ἐμοῦ, μὴ πεισθέντες κατοικῆσαι ἐν τῇ Πάτμῳ, καταλιπόντες με μόνον, καὶ διὰ τοῦτο εἰς τὸ εὔσπλαγχνον καὶ γαλήνιον κράτος καταφεύγω τῆς θεοπροβλήτου καὶ ἁγίας βασιλείας αὐτοῦ, ἵνα ὡς ἐκ θεοῦ δεδηγουμένη ἡ ἁγία βασιλεία αὐτοῦ δωρήσηταί μοι καὶ αὐτὸς τὴν ῥηθεῖσαν μου μονήν, τὴν ὑπεραγίαν Θεοτόκον τὴν ἐν τῇ Κῷ, τῶν Καστριανῶν καὶ Πηλὶ λεγομένην, μετὰ καὶ τῶν εἰρημένων προαστείων αὐτῆς, τοῦ τε βεστάρχου τὰ δύο καὶ τὰ λοιπὰ τὰ πλησίον αὐτῆς τῆς μονῆς, ὃ ἔχω ἀπὸ δωρεᾶς τοῦ Λιμνίτου, τὸ Χαρβάμιον, καὶ τὰ λοιπὰ τὰ πλησίον αὐτῆς, σὺν τῷ χωραφίῳ τῶν Κομματίων, καὶ ὃ ἔχω ἐξ ἀγορασίας τοῦ Βεργώτου, καὶ τὸ τοῦ Περιπάτου, γενομένων συμπεπαθημένων καὶ λογισίμων τῆς ἁγίας βασιλείας αὐτοῦ, καθὼς καὶ ἀπὸ τοῦ προμνημονευθέντος βασιλέως, κυροῦ Νικηφόρου τοῦ Βοτανειάτου, λογίσιμα καὶ συμπεπαθημένα εἶχον·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟ ΜΕΣΑΙΩΝΙΚΟ ΦΙΛΟΣΟΦΙΚΟ ΛΕΞΙΚΟ
ΕΠΙΜΕΛΕΙΑ: ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ Θ. ΚΙΕΡΙΤΖΗΣ
Ε. ΓΑΛΑΝΗ κ.τ.Ι.
ΙΩΑΝΝΙΝΑ 2006

ὡς ἂν οἱ μοναχοὶ, ἐν ταύτῃ τῇ ἁγίᾳ μονῇ, τῇ ἐν τῇ Κῷ, τὴν ἀνάπαυσιν καὶ ἀφόβως διάγοντες ἔχ[ωσι], τῆς ἁγίας βασιλείας αὐτοῦ τυγχά[νοντες] καὶ πάντων τῶν συγγενῶν αὐτοῦ καὶ τῆς ἁγίας ἡμῶν δεσποίνης μέχρι τῆς τοῦ κόσμου περατώσεως· ὥσπερ δὴ καὶ ἐγὼ ὁ ταπεινὸς μοναχὸς καὶ ἁμαρτωλός, ὁ ἀνάξιος δοῦλος αὐτοῦ, εὐχέτης ἐτύγχανον τῆς ἁγίας βασιλείας αὐτοῦ, εἰς ἣν καὶ ἐγὼ πολλοὺς κόπους καὶ πόνους οὐκ ὀλίγους καταβαλόμενος ἐν ταύτῃ τῇ μονῇ, ἐπί τε τῆς οἰκοδομῆς τοῦ καστελλίου, τῆς [μετακο]μίσεως τῆς ἔνδοθεν οὔσης ἐν αὐτῷ πέτρας, καὶ ἐξόδους οὐκ ὀλίγας κατακενώσαντος· καὶ ἐν μὲν τῇ Κῷ τὸ Λαχανίτζιν ἔχοντες οἱ μοναχοὶ, ἀπὸ δὲ τῆς Πάτμου, ὡς ὀφείλοντα εἶναι ζευγολάτ[ιον] τὸ κατάσπορον ἐπιφερόμενοι, τὴν ζωὴν πορίζονται οἵ τε οἱ ἐν τῇ Κῷ μοναχοὶ, καὶ οἵτινες ἀπ' αὐτῶν μοναχοὶ προσκαθίσωσιν ἐν τῷ ἡσυχαστηρίῳ τῆς Πέτρας, τῆς οὔσης πρὸς τὴν Πάτμον καὶ ἔχοντες, ὡς προέφημεν, τὴν διοίκησιν ἀπό τε τῆς Κῷ καὶ τῆς Πάτμου, ψάλλοντες καὶ ὑπερευχόμενοι τῆς ἁγίας βασιλείας αὐτοῦ, ἵνα καὶ ἀπὸ τοῦ θεοῦ τὸν μισθὸν ἑκατονταπλασίονα λήψωνται καὶ ζωὴν τὴν αἰώνιον. εἰ δὲ κατά τι, κατὰ παραχώρησιν θεοῦ καὶ τῶν ἁμαρτιῶν μου, ἐμπόδιον ποιήσωσι, τοῦ κλεῖσαι τὰ φιλάνθρωπα σπλάγχνα τῆς ἁγίας βασιλείας αὐτοῦ, καὶ παραβλέψηται τὴν ἐμὴν ταπεινότηταν καὶ ἐλεεινότητα . . . . . ἐκέκτητο ψυχικῆς αὐτοῦ σωτηρίας, τοῦ μὴ ἀντιστρέψαι τῆς ἐμῆς ἀδελφότητος τῶν μοναχῶν τὴν τοιαύτην μονὴν τῆς ὑπεραγίας θεοτόκου, τὸ Πηλί, τὴν ἐν τῇ Κῷ, ἧς μέχρι καὶ θανάτου μου ἐκοπίασα καὶ ἠγωνίσθην, ἵνα δώσῃ λόγον, μετὰ τὴν ὑπεραγίαν θεοτόκον καὶ τὸν ἠγαπημένον Θεολόγον καὶ μετ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς ἀνταποδόσεως. τὸ δὲ ταπεινόν μου λείψανον ἔχουσιν ἐξουσίαν οἱ μοναχοὶ οἱ συγκοπιάσαντες μετ' ἐμοῦ τοῦ μετατιθέναι ἐν τῇ μονῇ, ἔνθα ὁ θεὸς εὐοδώσοι γενέσθαι. ἐπὶ τούτῳ γὰρ καὶ τὸν παρόντα κωδίκελλον τῆς παρ' ἐμοῦ γεγονυίας μυστικῆς διαθήκης τὰ ἐλλειφθέντα ἀναπληρῶ, ὡς εἴρηται ἐν τῷ δηλωθέντι κωδικέλλῳ, προέτρεψα γραφῆναι χειρὶ Γεωργίου, πρεσβυτέρου καὶ νοταρίου Εὐρίπου, τοῦ ἐκ Στροβήλου μηνὶ μαρτίῳ πεντεκαιδεκάτῃ, ἡμέρᾳ τρίτῃ, ὥρᾳ ζ', ἰνδικτιῶνος α', ἔτει ,ϛχά, καὶ μάρτυρας ἐν αὐτῷ προέτρεψα τοῦ ὑπογράψαι καὶ σφραγῖσαι †.

† Χριστόδουλος, ὁ ἐν μοναχοῖς εὐτελής, ὁ τοῦ Λάτρου, οἰκείᾳ χειρὶ προέταξα καὶ ὑπέταξα. †

† Νικόλαος πρεσβύτερος ὁ Παππαδόπουλος, ἐπὶ τῷ παρόντι κωδικέλλῳ παρὼν τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ παρ' αὐτοῦ προτραπεὶς μάρτυς ὑπέγραψα καὶ ἐσφράγισα. †

† Ἰωάννης . . . . . παρὼν εἰμὶ ἐπὶ τὸν παρόντα κωδί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΘΕΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΑΘΗΝΑΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΜΕΤΑΓΕΝΕΣΤΕΡΗΣ ΠΕΡΙΟΔΟΥ ΑΘΗΝΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κελλιον τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ παρ' αὐτοῦ προτραπεὶς μάρτυς ὑπέγραψα καὶ ἐσφράγισα. †

† Θεοφάνης πρεσβύτερος, ὁ Θεοδοσίου, παρὼν ἐπὶ τῷ παρόντι κωδικέλλῳ τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ παρ' αὐτοῦ προτραπεὶς εἰς τὸ μαρτυρῆσαι ὑπέγραψα καὶ ἐσφράγισα. †

† Μιχαὴλ πρεσβύτερος, ὁ Φαφουλάκης, πάρειμι ἐπὶ τῷ παρόντι κωδικέλλῳ τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ παρ' αὐτοῦ προτραπεὶς εἰς τὸ μαρτυρῆσαι ὑπέγραψα καὶ ἐσφράγισα. †

† Γεώργιος, ὁ εὐτελὴς πρεσβύτερος καὶ νοτάριος Εὐρίπου, ὁ γραφεύς, καὶ αὐτὸς προτραπεὶς παρὰ τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου ὑπέγραψα καὶ ἐσφράγισα, ὡς γραφεὺς καὶ τοῦ ὅλου ὕφους. †

Archetypum chart. Flor. II. nro 2 et 3. extant Nro 4 et 5 exemplaria antiqua testamenti et codicilli, in fine mutila.

XXI. 6602—1094, die 5 mensis martii, ind. II.

Theodosius Castrisius renunciat dignitati praepositi coenobii Sancti Ioannis Theologi in insula Patmo.

Ἔγγραφον ἀποτάξεως Θεοδοσίου τοῦ Καστρισίου.

† . . . . . τοῦ Καστρισίου τὸ παρὸν τῆς ἀποτάξεως . . . . . τῆς οἱασοῦν περινοίας, πρὸς ὑμᾶς, Νεόφυτον . . . . . Πάτμου, Γρηγόριον μοναχόν, καὶ τοὺς λοιποὺς μοναχοὺς τῆς . . . . . καὶ τὸ μέρος καὶ τὰ δίκαια αὐτῆς, καθὼς τὸ ὕφος δηλώσει· καὶ γὰρ ὁ μοναχὸς Χριστόδουλος ὁ Λατρηνὸς τελευτῶν ἐπὶ μυστικῇ διατάξει καὶ κωδικέλλῳ διωρίσατο μετά γε τῶν ἄλλων καὶ τοῦτο· «καταλιμπάνω ἀντ' ἐμοῦ κύριον - καὶ ἐξουσιαστὴν εἰς τὸ εὐτελὲς μοναστήριον τοῦ τιμίου καὶ ἠγαπημένου Θεολόγου, τοῦ ἐν τῇ Πάτμῳ, τὸν μοναχὸν Ἀρσένιον τὸν Σκηνούριον, τὸν ὄντα εἰς τὰ Ἱεροσόλυμα, μετὰ καὶ πάντων τῶν διαφερόντων αὐτῷ», ἐάσας τῇ τοιαύτῃ αὐτοῦ μονῇ τά τε τέσσαρα πλοῖα αὐτοῦ καὶ ἕτερα διάφορα εἴδη, παρακατιὼν γράψας καὶ ταῦτα· «εἰ μὲν εἰσέλθῃ ὁ προμνημονευθεὶς μοναχός, κῦρις Ἀρσένιος, ἐν τῇ τοιαύτῃ μονῇ, ἵνα ἔχῃ τὴν ἐξουσίαν καὶ κυριότητα ταύτης καὶ τῶν αὐτῇ διαφερόντων πάντων κατὰ τὸ γεγονός μοι θεῖον καὶ προσκυνητὸν χρυσόβουλλον παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως. εἰ δὲ οὐ καταδέξηται τὴν τοιαύτην ἡγουμενίαν ἤ, ὡς μεμαθήκαμεν, πρὸς κύριον ἐξεδήμησε, διορίζομαι, ἵνα τὸ πνευματικόν μου